27/11/2021

# Απο την πνοή των Αγιορειτών: «Ω του παραδόξου θαύματος»

/ Αγιορείτικα



***«Ω του παραδόξου θαύματος», προσόμοιο Εσπερινού, ήχος α΄ «Ω του παραδόξου θαύματος», μέλος Ματθαίου Βατοπαιδινού | Ύμνοι επί τη καταθέσει της Τιμίας Ζώνης της Θεοτόκου.***

ΠΑΡΑΚΟΛΟΥΘΗΣΤΕ:

<span data-mce-type="bookmark" style="display: inline-block; width: 0px; overflow: hidden; line-height: 0;" class="mce_SELRES_start"></span>

Ποιητικά Κείμενα: Εἰς τὰ Ἑσπέρια Στιχηρὰ προσόμοια Ἦχος α΄.

«Ὢ τοῦ παραδόξου θαύματος» Ὢ τοῦ παραδόξου θαύματος! Ὡς πηγῆς θησαυρόν, τοῖς πιστοῖς κατέλιπες, τὴν Ζώνην σου τὴν σεπτήν, Παρθένε ἄχραντε.

Εὐφραίνονται οἱ πιστοί, τῶν ἰαμάτων τὴν χάριν λαμβάνοντες· πληροῦνται ἁγιασμοῦ, καὶ εὐφροσύνης οἱ πόθῳ προσπίπτοντες· καὶ μετ’ εὐλαβείας πάντες, εὐσεβῶς προσέρχονται, ἀρυόμενοι χάριν, ἐξ αὐτῆς καὶ ῥῶσιν πάντοτε. Βαβαὶ τῶν σῶν μυστηρίων Ἁγνή! σὴν γὰρ θείαν Ζώνην, ὡς πηγὴν ἀκένωτον, καὶ ἄσυλον θησαυρόν, ἡμῖν δεδώρησαι· ἐκβλύζει γὰρ τοῖς πιστοῖς, ἀδιαλείπτως ἀείζωα χεύματα· βραβεύει δὲ δαψιλῶς, τοῖς προσιοῦσιν ἐν πίστει τὴν ἴασιν, χαλεπῆς παντοίας λώβης, ἰατρὸς πανάριστος, ἀνεδείχθη Παρθένε, ὡς αὐτὴ μόνη ηὐδόκησας. Δεῦρο εὐσεβούντων ἄθροισμα, ἐν ψαλμοῖς καὶ ὕμνοις, τῇ Παρθένῳ ᾄσωμεν, τιμῶντες καὶ τὴν αὐτῆς, τιμίαν Ζώνην πιστῶς, ὡς ἄφθορόν τε σειράν, τὴν τὸ ἀκήρατον σκεῦος ζωννύουσαν, καὶ δύναμιν κραταιάν, τοῖς προσπελάζουσι πᾶσι παρέχουσαν. Δεῦτε συνελθόντες πάντες, εὐσεβῶς φιλέορτοι, ἀπαρύσασθε χάριν, δι᾽ αὐτῆς καὶ μέγα ἔλεος.

Credits: Παραγωγή, επιμέλεια: Ιερά Μεγίστη Μονή Βατοπαιδίου Διεύθυνση χορού: Γεώργιος Ν. Κωνσταντίνου Αντιγραφή μουσικών κειμένων: Κωνσταντίνος Κιόχος Επεξεργασία ήχου: Πατέρες Ι.Μ.Μ. Βατοπαιδίου Η ηχογράφηση πραγματοποιήθηκε στο Καθολικό της Ιεράς Μεγίστης Μονής του Βατοπαιδίου τον Ιούλιο του 2018 από τους πατέρες της Μονής.